Ἐν προγόνων γενεῆσι τεθειμμένοι ἦσαν ἄεθλοι
Αἰόλοι ἐν τοῖς γυμνασίοις· νίκην θ' ὁ ἀείρας,
Αὐτὸς ἄριστος ἔμεν δόατ', ἴφθιμος καὶ ἀγαυὸς,
Ἠδὲ ἄεθλα ἄφειλε βίῃ καὶ κάρτεϊ χειρῶν.
Τοῖς δὲ ἀγωνιστῆσι τοιαῦτα ἄεθλα πρόκειται,
Ἐκ κοτίνοιο ὀριτρεφέος στεφάνωμ' εὐανθὲς,
Ἢ πίτυος βλωθρῆς χ' ἐλεοθρέπτοιο σελίνου,
Ἀλλὰ τέως ἔπαθον κάματόν τε καὶ ἄλγεα πολλά.
Βὰν δ' ἴμεν εἰς ἀγορὴν, ἅμα δ' ἕσπετο πουλὺς ὅμιλος,
Μυρίοι· ἂν δ' ἵσταντο νέοι πολλοί τε καὶ ἐσθλοί.
Οἱ δή τοι πρῶτον μὲν ἐπειρήσαντο πόδεσσιν,
Τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· οἵ δ' ἅμα πάντες
Καρπαλίμως ἐπέτοντο κονίοντες πεδίοιο.
Οἱ δὲ παλαισμοσύνης ἀλεγεινῆς πειρήσαντο,
Καὶ ταῖς γυμνασίαις προφερέστατος ὅστις ἐτύχθη,
Τοῦτον ἔοικε νέον τὰ ἀέθλια κάλ' ἀνελέσθαι.
Οἱ περὶ τὰς μούσας πονέοντες συνεχὲς αἰεὶ,
Καὶ τοῖς βιβλίοις προσκείμενοι, ὄφρα γένωνται
Παιδείην κατὰ πᾶσαν ἐς ἐξησκημένοι ἄκρον.
Τούτων μὲν μᾶλλον περικαλλέα ἆθλα ἔχεσκον.
Κλειτὴν παιδείην, τιμήν τε κλέος τε μέγιστον,
Καὶ κῦδος ξυμπᾶσαν ὑπὲρ χθόνα πουλυβότειραν,
Οἰκείων ἰδὲ ξενίην, ὄλβον τε φόως τε,
Ἠδὲ ἐπιτροχάδην κάλλιστ', ὧν ἄν τις ἑαυτῷ
Τοῦ παρὰ Ἀθανάτοιο Θεοῦ εὔξαιτο γενέσθαι.
Οὐδὲ μὲν οὐδὲ τότ' ἔσκεν ἄτερ κρατεροῖο πόνοιο.
Τῆς δ' ἀρετῆς ἱδρῶτα Θεὸς προπάροιθεν ἔθηκε
Ἀθάνατος, μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν,
Καὶ τρηχὺς τὸ πρῶτον· Ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
Ῥηϊδίη δ' ἤπειτα πέλει, χαλεπή περ ἐοῦσα.

C Τῶν